κάτω συνάγεται· διὸ ῥέπει κάτω; συγκλείονται δὲ οἱ ὀφθαλμοί, διὰ τὸ μὴ ὑπάρχειν ἔτι νοτίδα. β Διὰ τί τῶν πλείοσιν ἀφροδισίοις χρωμένων, ἐπιδηλότατα συνδίδωσι τὰ ὄμματα καὶ τὰ ἰσχία· τὰ μὲν, ἐγγὺς ὄντα· τὰ δὲ, πόρρω; πότερον ὅτι καὶ ἐν αὐτῇ τῇ συνουσίᾳ ἐπιδηλότατα συμπονεῖ ταῦτα, τῇ ἐργασίᾳ συνιόντα περὶ τὴν πρόεσιν τοῦ σπέρματος; συνεκθλίβεται οὖν μάλιστα ἐντεῦθεν ὅσον εὔτηκτον τῆς τροφῆς ἔνεστι διὰ τὴν θλῖψιν. ἢ διότι παραθερμαίνεται, τήκεται μάλιστα· ὁ δὲ ἀφροδισιασμὸς, θερμότητα ἐργάζεται. μάλιστα δὲ ταῦτα θερμαίνεται, ἃ κινεῖται ἐν τῇ ἐργασίᾳ. οἱ δὲ ὀφθαλμοὶ, καὶ τὰ περὶ τὴν ἕδραν, ἐπιδήλως συμπονεῖ. οὔτε γὰρ μὴ συνάγοντι τὰ περὶ τὴν ἕδραν ἐνδέχεται προέσθαι, οὔτε μὴ τῶν ὀφθαλμῶν καταβληθέντων. τὰ μὲν γὰρ περὶ τὴν ἕδραν συνιόντα, θλίβει, ὥσπερ ἐκ κύστεως τῇ χειρὶ τὸ ὑγρόν· ἡ δὲ τῶν ὀφθαλμῶν συναγωγὴ, τὰ ἀπὸ τοῦ ἐγκεφάλου. ὅτι δὲ μεγάλην ἔχουσι τὰ ὄμματα τὴν δύναμιν καὶ ὁ τόπος αὐτῶν πρὸς γένεσιν, δηλοῖ ἡ τῶν ἀτέκνων καὶ γονίμων γυναικῶν τοῖς ἐναλείμμασι πεῖρα· ὡς δέον ταύτῃ διελθεῖν εἰς τὸ σπέρμα δύναμιν. πλείονα δὲ [ἀεὶ] ἄμφω τυγχάνει ὄντα πάντων ἀεί, ἀρχός τε καὶ ὄμματα. διὰ μὲν οὖν τὴν συνεργίαν, κοινωνεῖ τῆς θερμασίας· διὰ δὲ ταύτην, λεπτύνεται καὶ συναποκρίνεται πολὺ εἰς τὸ σπέρμα. οὔτε γὰρ, ἂν μὴ πῖον ᾖ, ὁμοίως χεύσῃ ἡ θερμότης, οὔτε πῖον μὴ συμπονοῦν, ὥσπερ ἐν τῇ κοιλίᾳ· ἀλλὰ οἱ νεφροὶ τῶν ἄλλων μάλιστα αἰσθάνονται, διὰ τὴν γειτνίασιν. καὶ αὐτὴ δὲ ἡ τοῦ σπέρματος πάροδος, παρὰ τοῖς τόποις τούτοις οὖσα, ἐπιδηλότατα ἱκανή ἐστι λεπτύνειν. ἀφαιρεῖ γάρ [τι,] ἀλλ' οὐ προστίθησι, πλησιάζουσα. γ Διὰ τί καὶ οἱ ἀφροδισιάζοντες, καὶ οἱ εὐνοῦχοι οὐ χρώμενοι ἀφροδισίοις, ὅμως ἀμφότεροι τὰ ὄμματα πρὸς ὀξυωπίαν βλάπτονται; ἢ ὅτι τοῖς μὲν, διὰ λαγνείαν, τοῖς δὲ, διὰ τὴν πήρωσιν, τὰ ἄνω ξηρὰ γίνεται μᾶλλον τοῦ δέοντος; ἐπιδηλότατα δὲ ἐν τούτοις, ὅσον τὸ ἔργον ἐστὶν ἀκριβές· ἡ δὲ ὄψις τοιοῦτον. κατασπωμένων δὲ τῶν [τοιούτων] ὑγρῶν, τὰ ἄνω ξηραίνεται. ὁ μὲν [οὖν] ἀφροδισιασμὸς, δῆλον ὅτι τοῦτο ποιεῖ· τοῖς δὲ εὐνούχοις τὰ σκέλη οἰδεῖ, καὶ αἱ κοιλίαι εὔλυτοι, ὡς κάτω μεθισταμένου τοῦ ὑγροῦ. δ Διὰ τί ἄνθρωπος μόνον ὅταν ἄρχηται δύνασθαι ἀφροδισιάζειν,

A quò se deflexerit: per somnum autem deorsum se colligit, itaque eodem conuertit. Clauduntur verò propterea oculi, quia humiditas deficit. 2 Cur iis qui rem veneream immodicè agunt, oculi, & clunes manifestè subsident, partes, quarum alteræ propè, alteræ procul à genitalibus absunt? Vtrum quòd in ipso etiam coitu partes hæ perspicuè collaborant, cùm rem studiosius ipsæ persequantur, & se co- B gant, nitantúrque in semine emittendo. Itaque quantum alimenti facilè liquescere potest, id pressum extruditur. An quòd obcalefactæ præcipuè contabescunt. Concubitus autem caloris agitur facultate, eáque maximè sentiunt caloré quæ in agendo commouentur. Oculi autem, partésque sedi proximę perspicuè collaborant. Haud enim fieri potest vt semen profluat, nisi partes coagantur illæ, nisiq. oculi demittā- C tur: quippe cùm partibus his coeuntibus humor quasi manu ex vesica prematur, oculísq. coactis cerebrum sua dimittat. Oculos verò, & locum his proximum, vim ad procreationem maximam obtinere, docent illinimenta, quæ mulieres tam steriles, quàm fœcundæ experiuntur, vtpote cùm vis ad semen transmitti hinc debeat. Sunt autem & oculi, & renes omnium pingues, atque obesi: ergo quòd partes hæ D rem veneream efficacius adiuuant, caloris participes sunt, cuius tabifica vi extenuantur, multúmq. sui succi ad semen excerni patiuntur. Calor enim (si corpus vel pingue non est, vel si pingue quid est, sed non tamen laborat) æquè liquefacere nequit, vt latè in ventre patet. Renes tamen omnium maximè sentiunt, quia in vicino positi sunt. Et ipse quoque seminis transi- E tus, cùm per ea loca perspicuè agatur, extenuare proculdubio potest: adimit enim, non addit per suam istam propinquitatem. 3 Quamobrem & qui concumbunt, & spadones, qui re minimè vtuntur venerea, in acumine oculorum offenduntur? An quòd alteris ob libidinem, alteris ob excisionem, partes superiores plus iusto exiccantur. Quod perspicuum in iis est, quorum opus exquisitius admi- F nistratur: aspectus autem tale est. Humoribus verò deorsum ductis, superiora siccari necesse est. Id igitur nimirum concubitu fieri patet. Spadonum autem crura intumescunt, & alui faciles sunt, vtpote cùm deorsum se humoris copia seuocet.

4 Cur homo, cùm cōcūbere posse incipit,